# T8 ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου ἀπολογία 1-5 docx

(Optativ und Konjunktiv farblich gekennzeichnet)

Lysias (~ 445-380) war ab 412 als Metöke in Athen ansässig. Er verlor in 403 unter dem Schreckensregime der Dreißig sein Vermögen und verdiente nach deren Vertreibung seinen Lebensunterhalt als Logograph; d.h. er schrieb Gerichtsreden, die von den Bestellern dann vor Gericht persönlich vorgetragen werden mussten.

1 περὶ πολλοῦ ἂν ποιησαίμην[1], ὦ ἄνδρες,
τὸ τοιούτους ὑμᾶς ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι,
οἷοίπερ ἂν ὑμῖν αὐτοῖς εἴητε[2] τοιαῦτα πεπονθότες·
εὖ γὰρ οἶδ᾽ ὅτι, εἰ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε[3],
ἥνπερ περὶ ὑμῶν αὐτῶν,
οὐκ ἂν εἴη[4] ὅστις οὐκ ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοίη[5],
ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων τὰς ζημίας μικρὰς ἡγοῖσθε.

2 καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ᾽ ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ᾽ ἐν ἁπάσῃ τῇ Ἑλλάδι·
περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος
καὶ ἐν δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ ἡ αὐτὴ τιμωρία
τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέδοται,
ὥστε τὸν χείριστον τῶν αὐτῶν τυγχάνειν τῷ βελτίστῳ·
οὕτως, ὦ ἄνδρες, ταύτην τὴν ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται.

3 περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας
ἅπαντας ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν,
καὶ οὐδένα οὕτως ὀλιγώρως διακεῖσθαι,
ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν
ἢ μικρᾶς ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους·

4 ἡγοῦμαι δέ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι,
ὡς ἐμοίχευεν Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν
καὶ ἐκείνην τε διέφθειρε καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε
καὶ ἐμὲ αὐτὸν ὕβρισεν εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών,
καὶ οὔτε ἔχθρα ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν πλὴν ταύτης,
οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα,
ἵνα[6] πλούσιος ἐκ πένητος γένωμαι,
οὔτε ἄλλου κέρδους οὐδενὸς πλὴν τῆς κατὰ τοὺς νόμους τιμωρίας.

5 ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα,
οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ·
ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν,
ἐὰν[7] ὑμῖν εἰπεῖν ἅπαντα δυνηθῶ τὰ πεπραγμένα.

---

[1] *ἂν ποιησαίμην: Opt + ἄν im HS (Hauptsatz) = Potentialis „könnte/ dürfte/ möchte wohl"*
[2] *οἷοίπερ ἂν ... εἴητε: Opt + ἄν im Rel.Satz = Potentialis „könnte/ dürfte/ möchte wohl" – meist **ohne ἄν**, hier aber wie HS*
[3] *εἰ ... ἔχοιτε: Opt **ohne ἄν** im **Kond.Satz** = Potentialis „könnte/ dürfte/ möchte wohl"*
[4] *οὐκ ἂν εἴη: als HS verstanden wie [1], da εὖ γὰρ οἶδ᾽ ὅτι phraseologisch als Parenthese wirkt „wie ich genau weiß"*
[5] *ὅστις οὐκ ... ἀγανακτοίη: Opt **ohne ἄν** im **Indef.Satz** = Potentialis „könnte/ dürfte/ möchte wohl"*
[6] *ἵνα + Konj. (verneint durch μή) „damit + Ind./ind.Rede": Finalsatz*
[7] *ἐάν = εἰ ἄν + Konj. „wenn + Ind.!" Bedingungssatz für Erwartetes, Gefordertes im Hauptsatz (= futurischer Fall)*